Α᾿βριβέςερον. (῾Ησύχ.) ᾿Αβρικέςερον. (Σȣΐδ.) — Τὸ ἀληθέςερον· ἡ λέξις ὅμως διεφθαρμένη, ἴσως κατὰ μετάληψιν τȣ̃ κ εἰς β, ἀπὸ τοῦ, ἀκριβέςερον· ἐπειδὴ οἱ παλαιοὶ τὸ β ὡς κ ἔγραφον, ὡς ἐν ταῖς διφθέραις ὁρᾶται· ἢ ἀβρικέςερον ἀντὶ, ᾿Ακριβέςερον, μεταθέσει τῶν γραμμάτων.

Α῾βρίζομαι. μ. ίσομαι. ἀμεταβ. — Τρυφηλῶς καλλωπίζομαι· ϗ ςολίζομαι γυναικωδῶς. ἀπὸ τȣ̃, ἁβρός· ὅθεν ῾Ησύχ. ῾Αβρίζεσθαι· ἁβρύνεσθαι, καλλωπίζεσθαι.

Α᾿βρίζω. μ. ίξω. παρακ. ιχα. ἀόρ. ά. ιξα. ἀμεταβ. — ᾿Αμέσως μετὰ τὸ δεῖπνον νυςάζω, ἢ κοιμῶμαι. ὅθεν Σȣΐδ. "᾿Αβρίξαι· τὸ ἀπὸ βορᾶς νυςάξαι· ἢ κοιμηθῆναι." ἀπὸ τȣ̃ βρίζω ϗ ᾱ πλεοναζ. ποιητικ. Εὐριπ. ῾Ρήσ. "῎Αβριζ᾿. ἴσως γὰρ εἰς βόλον τις ἔρχεται."

Α᾿βριθὴς. έος, ȣ̃ς. ὁ, ἡ, τό. — ῾Ο μὴ ἔχων βρῖθος, ἀβαρὴς, ἐλαφρὸς, κοῦφος. Εὐριπ. ῾Ικέτ. "Βάρος μὲν ȣ̓κ ἀβριθὲς, ἀλγέων ὕπερ."

Α᾿βρικέςερον. — ῞Ορ. ᾿Αβριβέςερον.

Α῎βρικτος, ȣ. ὁ, ἡ, τό. — ῾Ο δύσκωφος· ἤτοι, ἐκ μέρȣς ἀκȣ́ων. (Σȣΐδ. ϗ ῾Ησύχ.) — ᾿Ανύςακτος, ἄγρυπνος, ἄϋπνος. (῾Ησύχ. ᾿Ετυμ. ϗ Βαρ.) ἀπὸ τȣ̃ βρίζω, βέβρικται, βρικτὸς, ϗ ἄβρικτος.
Σημείωσαι, ὅτι παρ᾿ ῾Ησυχ. φέρεται ῎Αβρικτον· δύσκωφον· ὕπνον· ὅπερ διωρθώκαμεν, ἄϋπνον· ὡς διακεκριμένην τινὰ σημασίαν ἑτέραν, ὡς ϗ οἱ ἄλλοι τῶν Λεξικῶν.

Α᾿βρινὰ, ῶν. τά. — Κεκαθαρμένα. (῾Ησύχ.)

Α᾿βρὶξ. ἐπίῤῥ. — ᾿Εγρηγόρως. (῾Ησύχ. ϗ ᾿Ετυμ.) ἤτοι ἀγρύπνως· ἀπὸ τȣ̃ ἀβρίζω, ἀβρίξω, ἀβρίξ· ὡς ϗ ἀπὸ τȣ̃, λάπτω, λάψω, λάψ. κτλ.

Α῾βρίσδομαι. Δωρικ. — ᾿Αντὶ τȣ̃, ῾Αβρίζομαι. οἱ γὰρ Δωριεῖς τὸ ζ εἰς σδ ἀναλύȣσι.

Α῾βριςὴς, ȣ̃. ὁ, ἡ. — Μαςιγίας. (῾Ησύχ.) ἴσ. ἀντὶ τȣ̃, ὑβριςὴς, κατά τινα διάλεκτον. — Καὶ ὁ ἁβριζόμενος. καλλωπιςής.

Α῾βροβάτης, ȣ. ὁ. — ῾Ο ἁβρὰ βαίνων· ἤτοι, ὁ βάδην ϗ ὑπερηφάνως περιπατῶν· ὁ Αἰσχύλ. δὲ τȣ̀ς Πέρσας, ἁβροβάτας καλεῖ· οἷον, "Βοᾶθ᾿ ἁβροβάται."

Α῾βρόβιος, ȣ. ὁ, ἡ, τό. — ῞Ορ. ᾿Αβροδίαιτος. Διονύσ. ὁ Περιηγ. ϗ Πολυδ. βϐ. ϛ΄. ϗ ᾿Αλκίφρ. ἐν ᾿Επιςολ. "Τρυφερὰ ϗ ἁβρόβια μειράκια."

Α῾βροβιώτατος, τάτη, τατον. — ῾Υπερθετ. τȣ̃, ῾Αβρόβιος. Πλȣ́τ. ἐν Δημητρ. "῞Ηδιςος γὰρ ἂν συγγενέσθαι σχολάζοντι πρὸς πότους ϗ τρυφὰς ϗ διαίτας ἁβροβιώτατος βασιλέων, κτλ."

Α῾βρογάςωρ, ερος. } ὁ, ἡ. — ῾Ο ἁβρὸς τὴν γαςέρα, ἁ-
Α῾βρογάςωρ, ορος. } βροδίαιτος· ϗ συνήθως <Κοιλιόδουλος.>

Α῾βρογάςης, ȣ. ὁ. — ῎Ονομ. κύρ. Φράγγου τινὸς, ὅς τις ἐχρημάτισε ςρατηγὸς Γρατιανȣ̃ τȣ̃ βασιλέως, ἄλκιμος ϗ σώφρων· κλτ. Σȣΐδ. ϗ Ζώσιμ. βϐ. δ΄. γράφετ. ϗ, ᾿Αρβογάςης.

Α῾βρόγοος, ου. ὁ, ἡ, τό. — ῾Ο ἁβρὰ γοῶν, ὁ ἁπαλῶς κλαίων ϗ γυναικείως. Αἰσχύλ. Πέρσ. "αἱ δ᾿ ἁβρόγοοι Περσίδες." ἤτοι, αἱ ἐντρυφῶσαι τοῖς δάκρυσιν. (ὁ Σχολ.)

Α῎βρογος, ȣ. ὁ. ȣ̓σ. — Γόος ἁβρὸς· ἤτοι, τρυφηλὸς ϗ ἁπαλὸς κλαυθμὸς· ἀδόκιμον ὅμως δοκεῖ.

Α῾βρόδαις, αιτος. ὁ, ἡ. — ῾Ο ἔχων ἁβρὰς δαῖτας· ἤτοι, τρυφηλὰ βρώματα καὶ πολυτελῆ, ᾿Αθήν. βϐ. ά. "Πᾶς δὲ μιᾷ πάντας δειπνεῖν ἁβρόδαιτι τραπέζῃ." παρ᾿ ἄλλοις δὲ γράφεται, ἁβροδαῖτι, ἀπ᾿ εὐθ. ἁβροδαῖς, ῖτος.

Α῾βροδίαιτα. } ης. ἡ. ȣ̓σ. — ῾Αβρὰ δίαιτα.
Α῾βροδιαίτη. ᾿Ιωνικ. } τρυφερὰ ζωὴ ϗ ἁπαλή. (Σȣΐδ.)

Α῾βροδιαιτάομαι, ῶμαι. μ. ήσομαι. π. δεδιήτημαι. ἀμεταβ. — ῾Αβρῶς διαιτῶμαι, διάγω ζωὴν ἁπαλὴν ϗ τρυφηλήν. ὁ Σχολ. ᾿Αριςοφ. ἐν ᾿Ιππ.

Α῾βροδιαιτότατος, τάτη, τατον. — ῾Υπερθετ. τȣ̃, ῾Αβροδίαιτος· τρυφηλότατος κατὰ τὴν δίαιταν. — Οὐδετ. ἀντὶ ȣ̓σ. τȣ̃, ῾Αβροδίαιτα. ᾿Αθήν. βϐ. ιϐ΄. "Τὸ ἁβροδιαιτότατον τῶν Φαιακῶν." κατὰ συγκοπ. ἐκ τȣ̃, ἁβροδιαιτότατος.

Α῾βροδίαιτος, ȣ. ὁ, ἡ, τό. — ῾Ο ἁβρὸς τὴν δίαιταν, τρυφερὸς τὸν βίον, περὶ τὴν δίαιταν δαψιλής. (῾Ησύχ.) τρυφητὴς, τρυφερόβιος... Σημαίνει δὲ, καὶ τὸν πλȣσίως ζῶντα. (Σȣΐδ.) ὅθεν Πολυδ. βϐ. ϛ΄. κφ. δ΄. "῎Εριδες δὲ, ἑςιάτωρ λαμπρὸς, μεγαλοπρεπής... πανηγυρικὸς τὸ ἦθος, ἁβρόβιος, ἁβροδίαιτος, ϗ τὰ παραπλήσια." Αἰσχύλ. Περσ. "῾Αβροδιαίτων δ᾿ ἕπεται Λυδῶν ὄχλος." παρὰ δὲ Φίλων. περὶ Κόσμ. ϗ ἁβροδίαιτος βίος· οἷον, "Οὐ πρὸς ἀναγκαίαν μόνον χρῆσιν τροφῆς, ἀλλὰ ϗ πρὸς περιττὴν ἀπόλαυσιν ἁβροδιαίτȣ βίȣ." — Οὐδετέρ. ἀντὶ ȣ̓σ. ῾Αβροδίαιτα. ὡς παρὰ Σȣΐδ. "Τοῖς δὲ ῾Ρωμαίοις ȣ̓κ ἐς τὸ ἁβροδίαιτον ὁ βίος· ἄλλως δὲ ὡς φιλοπόλεμοί τε εἰσὶ ϗ φερέπονοι." Θȣκυδ. Συγγρ. ά. "Καὶ οἱ πρεσβύτεροι αὐτῶν διὰ τὸ ἁβροδίαιτον... ἐπαύσαντο φοροῦντες λινȣ̃ς χιτῶνας."

Α῾βροείμων, ονος. ὁ, ἡ. — ῾Ο ἁβρὰ εἵματα ἔχων, ὁ τρυφερὰ ϗ λαμπρὰ ἐνδύματα φορῶν· παρ᾿ ᾿Ετυμ. "᾿Αβροείμονές τε ϗ κατηγλαϊσμένοι." ἤτοι, λαμπροφόροι, ἁπαλοφόροι· ὡς ὁ αὐτ. ἑρμ.

Α῾βρόκαρπος, ου. ὁ, ἡ, τό. — ῾Ο τρυφερόκαρπος. — ῾Αβρόκαρπον (ȣ̓δετέρ.) τὸ ῾Αβρότονον. (῾Ησύχ.) χόρτον τι.

Α῾βροκόμας, Δωρικ. ἀντὶ τȣ̃, ῾Αβροκόμης. — ῾Ο ἁβρὰν κόμην ϗ ἁπαλὴν ἔχων· ὁ τὴν κόμην φαιδρὰν ἔχων· ἢ ὁ πολύθριξ. ȣ̔́τως ῾Ησύχ. καὶ ᾿Ετυμ. ὡς δὲ Λουκιαν. ὁ τὰς κόμας ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι. (ὅρ. εἰς τὸ, ῾Αβρός.) — Λέγεται ἐπιθετικῶς ϗ ὁ Βάκχος. ἐν ᾿Επιγραμμ. βϐ. ϛ΄. — Μεταφορ. δὲ ϗ ἐπὶ δένδρȣ. Εὐριπ. ᾿Ιφιγ. ἐν Ταύρ. "Φοίνιξ᾿ ἁβροκόμαν." ἤτοι, τρυφερόφυλλον· ἢ τρυφερόβλαςον. — ῾Αβροκόμας. ϗ κύρ. ὄνομ. σατράπȣ τȣ̃ ᾿Αρταξέρξȣ, βασιλέως Περσῶν. (Σȣΐδ. ῾Αρποκρ.)

Α῾βροκομάω, ῶ. μ. ήσω. — ῾Αβρὰν κόμην ϗ φαιδρὰν ἔχω. Κύριλλ. ἐν λεξ.

Α῾βροκόμης, ȣ. ὁ. — ῾Ο ἁβρὰν κόμην ἔχων. ὅρ. ῾Αβροκόμας. — Καὶ ὄνομ. κύρ. οἷον, τὰ κατὰ ᾿Ανθίαν ϗ ῾Αβροκόμην· ἤτοι, ἡ ἱςορία αὐτῶν, ἣν ἔγραψε Ξενοφῶν ὁ ᾿Εφέσιος.

Α῾βροκόμος, ȣ. ὁ, ἡ, τό. — ᾿Ιδὲ ῾Αβροκόμας. Εὐριπ. ᾿Ιφιγ. ἐν Ταύρ. "Φοίνιξ᾿ ἁβροκόμον." ȣ̔́τω γράφεται ἐν ἄλλαις ἐκδόσεσιν ἀντὶ τȣ̃, ῾Αβροκόμαν.

Α᾿βρομία, ας. ἡ. — Σκοτία. (῾Ησύχ.) ἤτοι, νὺξ, παρὰ τὸ εἶναι ἐςερημένην βρόμȣ· ἤτοι, κτύπου καὶ θορύβου.

Α᾿βρόμιος, ȣ. ὁ, ἡ, τό. — ῾Ο χωρὶς Βρομίȣ, ἤτοι Διονύσȣ. (Βρόμιος γὰρ ὁ Διόνυσος.) δηλ. ἀδιόνυσος· ϗ μετωνυμικ. ὁ ἄοινος, ὁ χωρὶς οἴνȣ· ἔφορος γὰρ τȣ̃ οἴνȣ ὁ Διόνυσος. (Σȣΐδ. ᾿Ετυμ.) οἷον, ᾿Επιγραμ. βϐ. ιά. κφ. ιδ΄. "῏Ην ὅλον διὰ καῦμα φύγω πυρὸς εἰς ἑκατόν σοι ᾿Ηελίȣ δροσερῶν πίομαι ἐκ λιβάδων, ᾿Αβρόμιος ϗ ἄοινος."

Α῾βρομίτρης, ȣ. ὁ, ἡ. — ῾Ο ἁβρὰν, τρυφερὰν, ϗ λαμπρὰν μίτραν, ἤτοι ζώνην φορῶν· ὅθεν ῾Ησύχ. ῾Αβρομίτρας· λαμπροζώνης. — Καὶ ὁ φορῶν ἐπὶ κεφαλῆς μίτραν λαμπρὰν ϗ πολύτιμον, ὡς οἱ ᾿Αρχιερεῖς. τῶν μεταγενεςέρων ῾Ελλήνων ἡ χρῆσις αὕτη.

Α῎βρομον, ȣ. τό. ȣ̓σ. — ᾿Ορίγανον· (῾Ησύχ.) ἡ κοινῶς <῾Ρίγανη.> χόρτον ὀρεινὸν, ϗ δριμὺ εἰς τὴν γεῦσιν· ὃ Μακεδόνες, ᾿Αβαρὺ λέγȣσι. — Καὶ ἐπιθετικ. σιγηρὸν, ἄψοφον. ὅρ. εἰς τὸ, ῎Αβρομος.

Α῎βρομος, ȣ. ὁ, ἡ, τό. ποιητ. — ῾Ο ἄγαν βρομῶν, ὅ ἐςιν ἠχῶν· πολύβρομος· ἢ λίαν θορυβώδης· ἢ μεγαλόκτυπος· κατ᾿ ἐπίτασ. τοῦ ᾱ. ᾿Ιλ. Ν. "῞Εκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο, ῎Αβρομοι, αὐΐαχοι." ἤτοι, πολύβρομοι, καὶ πολύηχοι· ἢ κατ᾿ Εὐςάθ. ἅμα βρόμῳ, ἅμα ἰαχῇ· ϗ ὡς ῾Ησύχ. ὁμόβρομοι· τȣ̃ ᾱ σημαίνοντος τὸ, ὁμȣ̃. ὅρ. τὴν ἐξήγησιν τȣ̃ ῾Ομηρικȣ̃ τούτου ἔπους πληρέςατα παρ᾿ ῾Ησυχ. ἐν τῷ, ᾿Αβρωμήνταςχοι. — Καὶ κατὰ ςέρ. τȣ̃ ᾱ, ὁ μὴ βρομῶν, ὁ χωρὶς βρόμȣ· ἢ ἄνευ θορύβȣ. ϗ σιγηρὸς, ἄψοφος. (῾Ησύχ.)

Α῾βροπέδιλος, ȣ. ὁ, ἡ, τό. — ῾Ο ἁβρὰ φορῶν πέδιλα· τρυφηλὰ ϗ λαμπρὰ ὑποδήματα. ᾿Επιγράμ. "῾Αβροπέδιλος ῎Ερως."

Α῾βρόπηνος, ȣ. ὁ, ἡ, τό. — ῾Ο ἁβρᾷ, εἴτην ἁπαλῇ ϗ λεπτῇ πήνῃ ὑφασμένος, ὅ ἐςι στήμονι. Λυκόφρ. "Μήθ᾿ ἁβροπήνους ἀμφιβάλλεσθαι πέπλους." ὁ Σχολ. ἑρμ. τρυφεροςήμονας, πλȣσίους, σηρικȣ̀ς· ὅ ἐςι <Μεταξωτὰ ϗ μαλακὰ φορέματα.> ἀλλ᾿ ἦσαν ἄρα ἐπὶ Λυκόφρονος τὰ σηρικὰ ἐν χρήσει;

Α῾βρόπλȣτος, ου. ὁ, ἡ, τό. — ῾Ο ἁβρῶς ϗ πλȣσίως ἐςολισμένος. οἷον, Εὐριπ. ᾿Ιφιγ. ἐν Ταύρ. "Χαίτας ἁβροπλȣ́τοιο." ἤτοι, χαίτης ἁβροπλȣ́του.

Α῾βρόπους, οδος. ὁ, ἡ, τό. — ῾Αβρȣ̀ς ϗ τρυφερȣ̀ς ἔχων πόδας. ᾿Επιγραμ. "῾Αβροπόδων βήματα."

Α῾βρὸς, ρὰ, ρόν. — Τρυφερὸς, ἁπαλὸς, μαλακὸς εἰς τὴν ἁφὴν· παρὰ τὸ ἅπτω· ὁ εὐχερής. (῾Ησύχ. ᾿Ετυμ.) καὶ μεταφορ. ὁ παχυλὸς, μαλθακὸς, τρυφηλὸς· ϗ ἐπομ. ἄνανδρος, ἀσθενὴς· ἢ ἀςεῖος, χαρίεις τὸ λέγειν· ἢ καλὸς ϗ ὡραῖος τὴν ὄψιν· ϗ ὅλως εἰπεῖν ἁβρὸς λέγεται, ὅς τις εἴς τινα τῶν αἰσθήσεων ȣ̓κ ὀχληρῶς προσπίπτει, ἀλλ᾿ ἡδονὴν ἐμποιεῖ ϗ ἀρέσκειαν. Λȣκιαν. ἐν Θεῶν κρίσ. "Τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον ϗ ἀγροικῶν." παρὰ Σȣΐδ. "῞Ομως δὲ ὁ τρυφερὸς ἐκεῖνος ϗ ἁβρὸς, ϗ ὑπὸ μαλακίας τȣ̃ σώματος κατεαγὼς ϗ λελυγισμένος, ϗ τάς τε κόμας ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέςεραι." αὐτ. Λουκιαν. "῾Αβρότερος γυναικῶν." ὁ αὐτ. "Καὶ μάλιςα ὁπόταν ᾄδῃ, ϗ ἁβρὸς εἶναι θέλῃ, οἷος αὐτολυρίζων φασί." ἤτοι, ἀςεῖος, χαρίεις. Καὶ ἐπὶ πραγμάτων. Αἰλιαν. Ζ. ᾿Ιδ. βϐ. β΄. κρ. ί. "Μάλιςα δὲ ἵππος κομῶσα ἁβροτάτη τε ἐςὶ ϗ θρυπτικωτάτη." ᾿Επιγραμ. βϐ. ά. κφ. ιϛ΄. "῾Αβρὸν ἐπιτρύζων κυθαλος [illegible] ἔζετο τέττιξ." ἤτοι, γλυκεῖα ϗ ἡδονικὸς εἰς τὴν ἀκοήν. — Παρὰ δὲ ῾Ερμογεν. λέγεται, ῾Αβρὸς λόγος, ὁ ϗ ῾Ωραῖος, ὅταν, ἤτοι ἐ[illegible]κόν τι αὐτοὶ μὴ λέγωμεν, ἢ καὶ τῶν ἄλλων τι τῶν ἰδίων Γλυκύτητος, μεθοδεύωμεν τε ȣ̔́τω ϗ ἑρμηνεύωμεν διὰ ἐπιθέτων καὶ ποιητικῶν ὀνομάτων· παριςῶμεν τε τοῖς σχήμασιν, ἢ τοῖς κώλοις, ἢ ϗ ἄλλῳ τινὶ κάλλους ἰδίῳ σχήματι ἐξαγγέλλωμεν· συντιθῶμέν τε ȣ̔́τω, ϗ τὰς ἀναπαύσεις ποιῶμεν σεμνὰς ἅμα ϗ ἀφελεῖς· τȣ̀ς δὲ ῥυθμȣ̀ς σεμνȣ̀ς ὁμȣ̃ ϗ καλȣ̀ς. τότε γὰρ ῾Ωραῖος ϗ ῾Αβρὸς, φησὶ, κατ᾿ ἀνάγκην ἡμῖν ὁ λόγος γίνεται. Παρὰ δὲ Πινδ. Νεμ. "῾Αβρὸς λόγος." τὰ ἐγκώμια· ὥς φησιν ὁ Σχολ. — ῾Ο λαμπρὸς, φαιδρὸς· ἢ μεγαλοπρεπής· ἢ ὁ λαμπρῶς ἐςολισμένος· ἢ πλȣ́σιος, δαψιλὴς, ἄφθονος, πολυτελὴς, ἤτοι πολυέξοδος· ἐπὶ προσώπ. ῾Ηρόδ. ἐν Μελπομ. "᾿Αγάθυρσοι δὲ ἁβρότατοι ἀνδρῶν εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιςα." Λȣκιαν. Νεκρ. Διαλ. "Καὶ χρυσοφόρων ἀνθρώπων ϗ ἁβρῶν." ᾿Επὶ πραγμάτων. Φιλόςρ. ᾿Επιςολ. μ΄. "Καὶ τίποτ᾿ ἂν ἡ εὐκαρπία τȣ̃ δε ἁβρότερον, ἢ εὐμορφίᾳ περικαλλέςερον γίνοιτο;" Λέγεται ϗ, "῾Αβρὸς μισθός." ὁ πολὺς ϗ δαψιλὴς, ἢ μεςός. ϗ, "῾Αβρὸς λειμών." παρὰ Σȣΐδ. ὁ καινότερος, φησὶ, ϗ εὐθαλὴς· ἢ ἀνθηρός. ϗ, "῾Αβρὰ τράπεζα." παρὰ τῷ αὐτῷ· ἡ πολυτελής. Αἰλιαν. παρὰ τῷ αὐτ. "᾿Επὶ κλίναις μάλα ἁβραῖς ϗ ςρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις, ἐπιθέντας." ἤτοι πλȣσίαις, πολυτελέσιν· ἢ μᾶλλον, παχείαις ϗ μαλακαῖς, ὡς αὐτὸς Σουΐδ. ἑρμ. — ῾Αβρὸν δὲ παρ᾿ ῾Ηροδ. τὸ καλὸν· αὔθαδες· σεμνὸν· τρυφερόν. — Καὶ παρ᾿ ᾿Ετυμ. ῾Αβρὸς· ὁ κȣ́φως βαίνων· κατὰ ςέρησ. τȣ̃ βάρυς, ἄβαρος, ϗ ἁβρός· ϗ κατὰ ταύτην τὴν ἐτυμολογίαν ἔδει ψιλȣ̃σθαι· δασύνεσθαι δὲ ᾿Αττικῶς φησὶν Εὐςάθ. — Παρ᾿ Εὐριπ. Μηδ. "ἁβρὸν βαίνȣσα παλλεύκῳ ποδὶ, Δώροις ὑπερχαίρȣσα." ἤτοι, μετὰ σεμνότητος ϗ σοβαρότητος. ϗ παρὰ Σȣΐδ. "᾿Εκεῖνος ὄντως ἁβρὰ βαίνων ἐδόκει, ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω." ἤγȣν, θρυπτόμενος, κολακευόμενος. ὡς ὁ αὐτ. ἑρμ. ϗ Αἰλιαν. Ζ. ᾿Ιδ. βϐ. β΄. κφ. ιά. "Καὶ ἐσόησαν ἁβρὰ μὲν βαίνοντες, θρυπτικῶς δὲ τὸ σῶμα πᾶν διαχέοντες." ὁ δὲ ῾Ησύχ. ῾Αβρὰ βαίνων· τρυφερόβιος, ἑρμ. — Χίων δ᾿ ἐν ᾿Επιςολ. β΄. "῾Οδὸς ἁβροτέρα," ἔφη, ἀντὶ τȣ̃, ὁμαλωτέρα, ἁπαλωτέρα· — Παρὰ δὲ ᾿Ανακρ. "῾Αβρὰ γελῶντες." ἀντὶ τȣ̃, τρυφηλῶς ϗ ἡδονικῶς. — Καὶ Σόλ. παρὰ Πλȣτ. "Γαςρί τε ϗ πλευρῇ ϗ ποσὶν ἁβρὰ παθεῖν." ἀντὶ τȣ̃ ἡδυπαθεῖν.

Α῎βροι. παροξυτόν. — ῎Εθνος πρὸς τῷ ᾿Αδρίᾳ. (Σȣΐδ.)

Α῾βροσαγὴς, έος, ȣ̃ς. ὁ, ἡ, τό. — ῾Ο ἁβρότητι ςάζων, ὁ ὑπὸ τρυφῆς διαῤῥέων· τρυφηλότατος. Σȣΐδ. ἐν τῷ, ῾Αβρός. "῾Αβροσαγὲς ἔχων ἀεὶ τὸ μέτωπον καὶ τȣ̀ς βοςρύχȣς, λαβὼν χρυσίον ἐκ τῶν κοινῶν συμφορῶν, ὅσον ἱκανὸν ἦν ἐμπλῆσαι ϗ τὸν ἐκ μύθȣ Μίδαν, ἐσέῤῥει πρὸς τὸν βασιλέα." ἐν δὲ τῷ, ᾿Αναδύμενος, ὁ αὐτ. "Μυροσαγὲς μέτωπον." ἔφη.

Α῎βροσος, ση, σον. — ᾿Ιδὲ ῎Αβρωςος.

Α῾βροσύνη, ης. ἡ. — ῾Η ἁβρότης, παρὰ Ποιηταῖς· ὅθεν ῾Ησύχ. ϗ Σȣΐδ. ῾Αβροσύνη· φαιδρότης· τρυφή. Εὐριπ. ᾿Ορέςτ. "Πολλῇ δ᾿ ἁβροσύνῃ Δῆλος ὁρᾶσθαι, Τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν."

Α᾿βροτάζω. μ. άξω. π. αχα. ȣ̓δέτ. ἀμετάβ. — ᾿Εν καιρῷ ἀβρότης, ἤτοι νυκτὸς, ἀποπλανῶμαι· τὴν νύκτα διαμφοδῶ, ὧδε ϗ ἐκεῖ παρατρέπομαι, καὶ ἀςοχῶ τῆς ὀρθῆς ἀμφόδȣ· ἢ ἁμαρτάνω, ἀποτυγχάνω βροτȣ̃, ἤγȣν ἀνδρὸς, ἐν ὁδῷ· ἢ ȣ̓κ ἀπαντῶ βροτῷ ἐν ὁδῷ· ἢ ϗ ἁπλῶς ἁμαρτάνω, ἀποτυγχάνω· ὃ ϗ, διαμφοδῶ. ᾿Ιλ. Κ. "Αὖθι μένειν, μήπως ἀβροτάξομεν ἀλλήλοιϊν ᾿Ερχομένω· πολλαὶ γὰρ ἀνὰ ςρατόν εἰσι κέλευθοι." ἤτοι, διαμφοδήσομεν, ἁμαρτήσομεν ἀλλήλων, ὥς φησιν Εὐςάθ. ἀλλὰ ϗ ῾Ησύχ. ᾿Αβροτάξομεν. ἁμάρτωμεν· (ὅπερ ἡμεῖς, φησὶ, λέγομεν, ἀμφοδήσομεν.) ἀπὸ τȣ̃ ἀποτυχεῖν τὸν βροτὸν τȣ̃ βροτȣ̃ μετὰ τὴν συνάντησιν· ὁ δὲ ᾿Ετυμ. ᾿Αβροτάζειν· κυρίως ἐπὶ τῶν τοξοτῶν, τὸ βροτȣ̃ ἀποτυχεῖν, ὡς ἐν πολέμῳ. λέγεται δὲ ϗ τὸ ἁπλῶς ἀποτυχεῖν· ὅτινες, διαμφοδῆσαι, φασιν· ᾿Απὸ τȣ̃, ἀβρότω, τὸ ἀποτυγχάνω, παράγωγον ἀβροτάζω. Εὐςάθ. ᾿Ιλ. Δ.

Α᾿βροταξις, εως. ἡ. — ῾Η ἐν ἀβρότῃ, εἴτην νυκτὶ, περιπλάνησις· ἢ ἁμαρτία ϗ ἀποτυχία βροτȣ̃ ἐν ὁδῷ· ἢ ἁπλῶς διαμφόδησις, ἁμαρτία. (῾Ησύχ. καὶ Εὐςάθ.)

Α῾βρότατος, τάτη, τατον. — ῾Υπερθ. τȣ̃, ῾Αβρός. ζήτ. αὐτόθ.

Α῾βρότειον, ου. τό. — ᾿Αντὶ ῾Αβροτονον· ἡμάρτηται παρὰ Θεοφρ. ῾Ιςορ. φυτ. βϐ. ϛ΄.

Α῾βρότερος, τέρα, τερον. — Συγκρ. τȣ̃, ῾Αβρός. Σȣΐδ. "᾿Αλλ᾿ ἁβρότερον αὐτῶν εἶχον, καὶ Συβαρίδος μεςοὶ ἦσαν."

Α᾿βροτέω, ῶ. μ. ήσω. π. ηκα. — Συναντεῖν [illegible] βροτῷ, ἤτοι ἀνθρώπῳ, καθ᾿ ὁδὸν· ἢ ἐν [illegible] ἤγȣν νυκτὸς· ὅθεν ῾Ησύχ. ϗ ᾿Ετυμ. ᾿Αβροτῆσαι· νυκτὸς ἀπαντῆσαι. — ῾Αμαρτάνω, ἀποτυγχάνω. κατὰ ςέρ. τȣ̃ ᾱ. ἰδὲ ϗ ᾿Αβροτάζω.

Α᾿βροτῆ. — ᾿Αβροτησία. (῾Ησύχ.) [illegible] τινὲς, ᾿Αβροτῆ· ἀμβροσία [illegible] ἀβροτῆ διορθȣ̃σθαι [illegible] ἀντὶ τȣ̃, μὴ ἀνθρωπικ[illegible] κτητικ. ἀπὸ τȣ̃ βροτὸς, βροτήσιος, ὁ [illegible] [illegible] θεῖα, ποιητικ. ὁ [illegible]

Α᾿βρότη, ης. ἡ. [illegible] τοῦ, ῎Αβροτος, ποιητικ. — ῾Η